# ΠΕΤΡΟΥ Β

*Συμεὼν Πέτρος δοῦλος καὶ ἀπόστολος Ἰησοῦ* 1
*Χριστοῦ τοῖς ἰσότιμον ἡμῖν λαχοῦσιν πίστιν ἐν*
*δικαιοσύνῃ τοῦ θεοῦ ἡμῶν καὶ σωτῆρος Ἰησοῦ*
*Χριστοῦ· χάρις ὑμῖν καὶ εἰρήνη πληθυνθείη ἐν* 2
*ἐπιγνώσει τοῦ θεοῦ καὶ Ἰησοῦ τοῦ κυρίου ἡμῶν,*
*ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ* 3 1 P 2,9.
*πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης διὰ τῆς*
*ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς ἰδίᾳ δόξῃ καὶ*
*ἀρετῇ, δι' ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγ-* 4
*γέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας*
*κοινωνοὶ φύσεως, ἀποφυγόντες τῆς ἐν τῷ κόσμῳ*
*ἐν ἐπιθυμίᾳ φθορᾶς. καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν* 5 G 5,6.22.
*πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει*
*ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ˈἐν* 6
*δὲ τῇ γνώσει τὴν ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ*
*τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν,*
*ˈἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ* 7 G 6,10.
*φιλαδελφίᾳ τὴν ἀγάπην. ταῦτα γὰρ ὑμῖν ὑπάρ-* 8
*χοντα καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους*

---

**1,***1* **ℋ** *Σιμων* *2* **TW** *ημων.* **(W nova sectio)** *3 παντα* : **TW pr** *τα* | **ℋ** *ημας δια δοξης και αρετης* *4* **ℋW** *τ. και μεγιστα ημιν* | **fin W,**

---

**1,***1 εις δικαιοσυνην* | *θεου* : *κυριου* *2 Ιησου Χριστου* *4 την εν τω κ. επιθυμιαν φθ.* | — *τω* *5 αυτο τουτο* : *αυτοι* *7* **fin** + *εν δε τη αγαπη την παρακλησιν* *8 υπαρχ.* : *παροντα*

καθίστησιν εἰς τὴν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
1 J 2,9.11. 9 ἐπίγνωσιν· ᾧ γὰρ μὴ πάρεστιν ταῦτα, τυφλός
ἐστιν μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ
10 τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. διὸ μᾶλλον, ἀδελφοί,
σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν
ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ
J 3,5; 10,7. 11 ποτε. οὕτως γὰρ πλουσίως ἐπιχορηγηθήσεται
ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ
κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.
12 Διὸ μελλήσω ἀεὶ ὑμᾶς ὑπομιμνήσκειν περὶ
τούτων, καίπερ εἰδότας καὶ ἐστηριγμένους ἐν τῇ
2 K 5,1. 13 παρούσῃ ἀληθείᾳ. δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον
εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν
J 21,18.19. 14 ὑπομνήσει, εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις
τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ κύριος ἡμῶν
15 Ἰησοῦς Χριστὸς ἐδήλωσέν μοι· σπουδάσω δὲ καὶ
ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον τὴν
16 τούτων μνήμην ποιεῖσθαι. οὐ γὰρ σεσοφισμένοις
μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τὴν
τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ
παρουσίαν, ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου
Mt 17,5. 17 μεγαλειότητος. λαβὼν γὰρ παρὰ θεοῦ πατρὸς
τιμὴν καὶ δόξαν φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε
ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· οὗτός ἐστιν ὁ
υἱός μου ὁ ἀγαπητός, εἰς ὃν ἐγὼ εὐδόκησα, —
18 καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ οὐ-
ρανοῦ ἐνεχθεῖσαν σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ
19 ἁγίῳ. καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν
λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες ὡς λύχνῳ
φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυ-

---

*9* W εστιν, | hT αμαρτηματων *10* σπουδασατε : h[r] + ινα δια των καλων [υμων] εργων (... ποιεισθε vl ποιησθε) *11* ημων : W υμων *17* HW Ο υιος μου ο αγαπητος μου ουτος εστιν *18* HW εν τω αγιω ορει (W,)

---

*11* — και σωτ. *12* ουκ αμελησω *13* εν 2[o] : + τη *17* του θεου *18* εκ του ουρ. *19* η ημερα

γάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις
ὑμῶν· τοῦτο πρῶτον γινώσκοντες, ὅτι πᾶσα προ- 20
φητεία γραφῆς ἰδίας ἐπιλύσεως οὐ γίνεται· οὐ 21 2 T 3,16.17.
γὰρ θελήματι ἀνθρώπου ἠνέχθη προφητεία ποτέ,
ἀλλὰ ὑπὸ πνεύματος ἁγίου φερόμενοι ἐλάλησαν
ἀπὸ θεοῦ ἄνθρωποι.

Ἐγένοντο δὲ καὶ ψευδοπροφῆται ἐν τῷ λαῷ, 2 Mt 24,11. 1 T 4,1. Dt 13,2 ss.
ὡς καὶ ἐν ὑμῖν ἔσονται ψευδοδιδάσκαλοι, οἵτινες
παρεισάξουσιν αἱρέσεις ἀπωλείας, καὶ τὸν ἀγορά-
σαντα αὐτοὺς δεσπότην ἀρνούμενοι, ἐπάγοντες
ἑαυτοῖς ταχινὴν ἀπώλειαν· καὶ πολλοὶ ἐξακολου- 2 Is 52,5.
θήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, **δι' οὓς** ἡ ὁδὸς
τῆς ἀληθείας **βλασφημηθήσεται**· καὶ ἐν πλεονεξίᾳ 3 R 16,18. 2 K 9,5. 1 Th 2,5.
πλαστοῖς λόγοις ὑμᾶς ἐμπορεύσονται· οἷς τὸ κρίμα
ἔκπαλαι οὐκ ἀργεῖ, καὶ ἡ ἀπώλεια αὐτῶν οὐ
νυστάζει. εἰ γὰρ ὁ θεὸς ἀγγέλων ἁμαρτησάντων 4 Gn 6.
οὐκ ἐφείσατο, ἀλλὰ σειροῖς ζόφου ταρταρώσας
παρέδωκεν εἰς κρίσιν τηρουμένους, καὶ ἀρχαίου 5 3,6. Gn 8,18.
κόσμου οὐκ ἐφείσατο, ἀλλὰ ὄγδοον Νῶε δικαιο-
σύνης κήρυκα ἐφύλαξεν, κατακλυσμὸν κόσμῳ ἀσε-
βῶν ἐπάξας, καὶ πόλεις Σοδόμων καὶ Γομόρρας 6 Gn 19,25.
τεφρώσας καταστροφῇ κατέκρινεν, ὑπόδειγμα μελ-
λόντων ἀσεβεῖν τεθεικώς, καὶ δίκαιον Λὼτ κατα- 7
πονούμενον ὑπὸ τῆς τῶν ἀθέσμων ἐν ἀσελγείᾳ
ἀναστροφῆς ἐρρύσατο, — βλέμματι γὰρ καὶ ἀκοῇ 8 Ez 9,4.
ὁ δίκαιος ἐνκατοικῶν ἐν αὐτοῖς ἡμέραν ἐξ ἡμέρας
ψυχὴν δικαίαν ἀνόμοις ἔργοις ἐβασάνιζεν, — οἶδεν 9 1 K 10,13. Ap 3,10.
κύριος εὐσεβεῖς ἐκ πειρασμοῦ ῥύεσθαι, ἀδίκους
δὲ εἰς ἡμέραν κρίσεως κολαζομένους τηρεῖν, μά- 10

*21* T ποτε προφητεια *2,4* T σιροις *6* H— κατα-στροφη | HW ασεβεσιν *7* HW ερυσατο (T·W.) *8* ℵ— ο | W εγκατοικ. *9* T πειρασμων | W τηρειν. (nov. sect.)

*20* γραφη προφητειας *21* (οι) αγιοι (του) θεου ανθρ. **2**,*2* οδος : δοξα *3* νυσταξει *4* σειραις | κολαζομενους τηρειν

λιστα δὲ τοὺς ὀπίσω σαρκὸς ἐν ἐπιθυμίᾳ μιασμοῦ
πορευομένους καὶ κυριότητος καταφρονοῦντας.
τολμηταί, αὐθάδεις, δόξας οὐ τρέμουσιν βλασφη-
11 μοῦντες, ὅπου ἄγγελοι ἰσχύϊ καὶ δυνάμει μείζονες
ὄντες οὐ φέρουσιν κατ' αὐτῶν παρὰ κυρίῳ βλάσφη-
12 μον κρίσιν. οὗτοι δέ, ὡς ἄλογα ζῷα γεγεννημένα
φυσικὰ εἰς ἅλωσιν καὶ φθοράν, ἐν οἷς ἀγνοοῦσιν
βλασφημοῦντες, ἐν τῇ φθορᾷ αὐτῶν καὶ φθαρή-
13 σονται, ˈκομιούμενοι μισθὸν ἀδικίας· ἡδονὴν ἡγού-
μενοι τὴν ἐν ἡμέρᾳ τρυφήν, σπῖλοι καὶ μῶμοι
ἐντρυφῶντες ἐν ταῖς ἀπάταις αὐτῶν συνευωχού-
14 μενοι ὑμῖν, ὀφθαλμοὺς ἔχοντες μεστοὺς μοιχαλίδος
καὶ ἀκαταπαύστους ἁμαρτίας, δελεάζοντες ψυχὰς
ἀστηρίκτους, καρδίαν·γεγυμνασμένην πλεονεξίας
Nu 22,7. 15 ἔχοντες, κατάρας τέκνα· καταλείποντες εὐθεῖαν
Ap 2,14. ὁδὸν ἐπλανήθησαν, ἐξακολουθήσαντες τῇ ὁδῷ τοῦ
Βαλαὰμ τοῦ Βοσόρ, ὃς μισθὸν ἀδικίας ἠγάπησεν,
Nu 22,28. 16 ˈἔλεγξιν δὲ ἔσχεν ἰδίας παρανομίας· ὑποζύγιον
ἄφωνον ἐν ἀνθρώπου φωνῇ φθεγξάμενον ἐκώλυσεν
17 τὴν τοῦ προφήτου παραφρονίαν. οὗτοί εἰσιν πηγαὶ
ἄνυδροι καὶ ὁμίχλαι ὑπὸ λαίλαπος ἐλαυνόμεναι,
18 οἷς ὁ ζόφος τοῦ σκότους τετήρηται. ὑπέρογκα
γὰρ ματαιότητος φθεγγόμενοι δελεάζουσιν ἐν ἐπι-
θυμίαις σαρκὸς ἀσελγείαις τοὺς ὀλίγως ἀποφεύγον-
J 8,34. 19 τας τοὺς ἐν πλάνῃ ἀναστρεφομένους, ἐλευθερίαν
αὐτοῖς ἐπαγγελλόμενοι, αὐτοὶ δοῦλοι ὑπάρχοντες

---

*10* T τολμηταὶ αυθ. | H τρεμουσιν, *11* H [παρα κυριω] *12* T γεγενημενα *12.13* T φθαρησονται κομ. *13* κομ. : HW αδικουμενοι | απαταις : hR αγαπαις *14* H ακαταπαστους *15* h καταλιποντες | 𝔎W Βεωρ | hW— ος | h ηγαπησαν *18* T αποφευγοντας,

---

*10* εν επιθυμιαις *12* αυτοι δε | αγνοουντες βλασφημουσιν | και φθ. : καταφθαρησονται *13* απατ. : αγνοιαις *14* μοιχαλιας | πλεονεξιαις *15* την ευθειαν *16* αφ. ανθρωποις φ. *17* και ομ. : νεφελαι | τετηρ. : pr εις αιωνα *18* ασελγειας | ολιγως : οντως | αποφυγοντας *19* υπαρχ. : οντες

*τῆς φθορᾶς· ᾧ γάρ τις ἥττηται, τούτῳ δεδούλωται.* J 8,34. R 6,16.
*εἰ γὰρ ἀποφυγόντες τὰ μιάσματα τοῦ κόσμου ἐν* 20 Mt 12,45.
*ἐπιγνώσει τοῦ κυρίου καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ,*
*τούτοις δὲ πάλιν ἐμπλακέντες ἡττῶνται, γέγονεν*
*αὐτοῖς τὰ ἔσχατα χείρονα τῶν πρώτων. κρεῖττον* 21 L 12,47.48.
*γὰρ ἦν αὐτοῖς μὴ ἐπεγνωκέναι τὴν ὁδὸν τῆς δι-*
*καιοσύνης, ἢ ἐπιγνοῦσιν ὑποστρέψαι ἐκ τῆς παρα-*
*δοθείσης αὐτοῖς ἁγίας ἐντολῆς. συμβέβηκεν αὐτοῖς* 22 Prv 26,11.
*τὸ τῆς ἀληθοῦς παροιμίας·* ***κύων ἐπιστρέψας ἐπὶ***
***τὸ ἴδιον ἐξέραμα,*** *καί·* ***ὗς*** *λουσαμένη εἰς κυλισμὸν*
***βορβόρου.***

*Ταύτην ἤδη, ἀγαπητοί, δευτέραν ὑμῖν γράφω* 3 1,13.
*ἐπιστολήν, ἐν αἷς διεγείρω ὑμῶν ἐν ὑπομνήσει*
*τὴν εἰλικρινῆ διάνοιαν, μνησθῆναι τῶν προειρη-* 2
*μένων ῥημάτων ὑπὸ τῶν ἁγίων προφητῶν καὶ*
*τῆς τῶν ἀποστόλων ὑμῶν ἐντολῆς τοῦ κυρίου καὶ*
*σωτῆρος, ¹τοῦτο πρῶτον γινώσκοντες, ὅτι ἐλεύσον-* 3 1 T 4,1.
*ται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐν ἐμπαιγμονῇ ἐμ-*
*παῖκται κατὰ τὰς ἰδίας ἐπιθυμίας αὐτῶν πορευό-*
*μενοι ¹καὶ λέγοντες· ποῦ ἐστιν ἡ ἐπαγγελία τῆς* 4 Is 5,19.
*παρουσίας αὐτοῦ; ἀφ' ἧς γὰρ οἱ πατέρες ἐκοι-* Ez 12,22. Mt 24,48.
*μήθησαν, πάντα οὕτως διαμένει ἀπ' ἀρχῆς κτίσεως.*
*λανθάνει γὰρ αὐτοὺς τοῦτο θέλοντας ὅτι οὐρανοὶ* 5 Mt 24,38.
*ἦσαν ἔκπαλαι καὶ γῆ ἐξ ὕδατος καὶ δι' ὕδατος* Gn 1,2.6.9. Ps 24,2.
*συνεστῶσα τῷ τοῦ θεοῦ λόγῳ, δι' ὧν ὁ τότε κόσμος* 6 2,5. Gn 7,21.
*ὕδατι κατακλυσθεὶς ἀπώλετο· οἱ δὲ νῦν οὐρανοὶ* 7 10.
*καὶ ἡ γῆ τῷ αὐτῷ λόγῳ τεθησαυρισμένοι εἰσὶν*
*πυρὶ τηρούμενοι εἰς ἡμέραν κρίσεως καὶ ἀπωλείας*
*τῶν ἀσεβῶν ἀνθρώπων. Ἓν δὲ τοῦτο μὴ* 8 Ps 90,4.

---

*19 τουτω* : R+ [*και*]   *20 κυριου* : hT+ *ημων*   *21* T *κρεισσον*   3,*3* T *αυτων επιθυμιας*   *4* W *εστιν*   *5* h *συνεστωτα*   *7 αυτω* : W *αυτου*

---

*20 και σωτ.* : + *ημων vl* —   *21 επιστρεψαι et* pr *εις τα οπισω* | *εκ* : *απο*   *22 συμβ.* : + *δε vl γαρ* | *κυλισμα*   3,*3 εσχατου* | — *εν εμπαιγμ.*   *7 (τω) αυτου* | *ασεβειας*

λανθανέτω ὑμᾶς, ἀγαπητοί, ὅτι μία ἡμέρα **παρὰ**
**κυρίῳ** ὡς χίλια ἔτη καὶ **χίλια ἔτη ὡς ἡμέρα** μία.
Hb 2,3. 1 T 2,4. 9 οὐ βραδύνει κύριος τῆς ἐπαγγελίας, ὥς τινες
βραδυτῆτα ἡγοῦνται, ἀλλὰ μακροθυμεῖ εἰς ὑμᾶς,
μὴ βουλόμενός τινας ἀπολέσθαι ἀλλὰ πάντας εἰς
1 Th 5,2.3. 7. Mt 24,29.35. Ap 20,11. 10 μετάνοιαν χωρῆσαι. Ἥξει δὲ ἡμέρα κυρίου ὡς
κλέπτης, ἐν ᾗ οἱ οὐρανοὶ ῥοιζηδὸν παρελεύσονται,
στοιχεῖα δὲ καυσούμενα λυθήσεται, καὶ γῆ καὶ τὰ
11 ἐν αὐτῇ ἔργα κατακαήσεται. Τούτων οὕτως πάν-
των λυομένων ποταποὺς δεῖ ὑπάρχειν ὑμᾶς ἐν
Is 34,4. 12 ἁγίαις ἀναστροφαῖς καὶ εὐσεβείαις, προσδοκῶντας
καὶ σπεύδοντας τὴν παρουσίαν τῆς τοῦ θεοῦ
ἡμέρας, δι' ἣν **οὐρανοὶ** πυρούμενοι λυθήσονται
Is 65,17; 66,22. Ap 21,1.27. 13 καὶ στοιχεῖα καυσούμενα **τήκεται· καινοὺς δὲ οὐρα-**
**νοὺς καὶ γῆν καινὴν** κατὰ τὸ ἐπάγγελμα αὐτοῦ
1 K 1,7.8. 14 προσδοκῶμεν, ἐν οἷς δικαιοσύνη κατοικεῖ. Διό,
ἀγαπητοί, ταῦτα προσδοκῶντες σπουδάσατε ἄσπιλοι
R 2,4. 1 K 3,10. 15 καὶ ἀμώμητοι αὐτῷ εὑρεθῆναι ἐν εἰρήνῃ, καὶ τὴν
τοῦ κυρίου ἡμῶν μακροθυμίαν σωτηρίαν ἡγεῖσθε,
καθὼς καὶ ὁ ἀγαπητὸς ἡμῶν ἀδελφὸς Παῦλος
κατὰ τὴν δοθεῖσαν αὐτῷ σοφίαν ἔγραψεν ὑμῖν,
16 ὡς καὶ ἐν πάσαις ἐπιστολαῖς λαλῶν ἐν αὐταῖς
περὶ τούτων, ἐν αἷς ἐστιν δυσνόητά τινα, ἃ οἱ
ἀμαθεῖς καὶ ἀστήρικτοι στρεβλοῦσιν ὡς καὶ τὰς
λοιπὰς γραφὰς πρὸς τὴν ἰδίαν αὐτῶν ἀπώλειαν.
Mc 13,5.9.33. 17 Ὑμεῖς οὖν, ἀγαπητοί, προγινώσκοντες φυλάσσεσθε
ἵνα μὴ τῇ τῶν ἀθέσμων πλάνῃ συναπαχθέντες
18 ἐκπέσητε τοῦ ἰδίου στηριγμοῦ, αὐξάνετε δὲ ἐν

---

*9 εις 1⁰* : T *δι*   *10* T— *οι* | *κατακαησεται* : HW *ευρεθησεται* (W;) h[s] *ουχ ευρεθησεται vl αφανισθησεται* : *fort pro ρυησεται*   *11 ουτως* : T *ουν* | *υμας* : [H]—W   *12 τηκεται* (W;) : h[s] *τακησεται (-ονται) fort pro τηξεται*   *13* T *καινην γην* | T *τα επαγγελματα*   *15.16* W *υμιν ως ... επιστολαις.* *16 πασαις* : T+ *ταις*

---

*9 βραδυνει* | *υμας* : *ημας it 11*   *10 κλεπτης* : + *εν νυκτι*   *12 θεου* : *κυριου*   *13 κατα* : *και*   *14 αμωμοι* *16 αις* : *οις* | *εισιν*

*χάριτι καὶ γνώσει τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ. αὐτῷ ἡ δόξα καὶ νῦν καὶ εἰς ἡμέραν αἰῶνος.*

---

*18* **fin R+** [*αμην*]

---

*18 γνωσει : πιστει*

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`